TEZAUR LITURGIC

26 OCTOMBRIE

PARACLISUL SF.MARE MUCENIC DIMITRIE, IZVORÂTORUL DE MIR



ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Παρακλητικός Κανών εις τον Ἅγιο Δημήτριο Μυροβλύτη

Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τον ΡΜΒ’ (142) Ψαλμόν.

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α’. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.

Στίχ. β’. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ’. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.

Εἶτα τὸ τροπάριον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ Δημητρίου τῷ ναῷ νῦν προσδράμωμεν, οἱ ἐν κινδύνοις καὶ Εἰκόνι προσπέσωμεν, αὐτοῦ ἐκ κατανύξεως κραυγάζοντες ψυχῆς· Μάρτυς νῦν σπλαγχνίσθητι, ἐφ’ ἡμῖν σοῖς οἰκέταις, πρόφθασον καὶ λύτρωσαι, τῆς παρούσης ἀνάγκης, μὴ παραβλέψῃς δέησιν οἰκτράν, τῶν προσφυγόντων, τῇ σκέπῃ σου Ἅγιε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προϊστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμός Ν’ (50).

Εἶτα ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἀρχὴν σοφίας τὸν Θεοῦ ποιούμενος, φόβον Δημήτριε, ἀρετῶν παντοίων, ὤφθης καταγώγιον, καὶ πάθη ἀπενέκρωσας, δι’ ὁ πάθη νεκρῶσαι, καὶ ἀρετὰς κατεργάζεσθαι, κἀμὲ σαῖς πρεσβείαις ἀξίωσον.

Τῆς παρθενίας ἐραστὴς γεγένησαι, Μάρτυς Δημήτριε, καὶ παρθένος ὤφθης, ψυχῇ τε καὶ σώματι, ὅθεν κἀμὲ ἐνίσχυσον, θεοδέκτοις εὐχαῖς σου, παρθένον εἶναι καὶ φαίνεσθαι, ἔργοις τε καὶ λόγοις ἔννοίαις τε.

Σὺ τὸν Χριστὸν ἀπὸ ψυχῆς ἠγάπησας, θεῖε Δημήτριε, καὶ ἐντολὰς πάσας, τὰς αὐτοῦ ἐτήρησας, δι’ ὃ θερμῶς σου δέομαι, ἀγαπήσεως τούτου, βέλει τρωθῆναί με πρέσβευε, καὶ τηρεῖν αὐτοῦ τὰ προστάγματα.

Θεοτοκίον.

Ὡς ὀφθαλμοὶ οἱ τῆς πεδίσκοις βλέπουσιν, ἀεὶ κυρίας αὐτῆς, εἰς τὰς χεῖρας οὕτως, οἱ ὀφθαλμοὶ βλέπουσιν, ἡμῶν ἀγνὴ τῶν δούλων Σου, εἰς τὰς χεῖρας ἀπαύστως,

Σοῦ τῆς Κυρίας τῆς κτίσεως, ἕως ἂν ἡμᾶς οἰκτειρήσειας.

Ὠδὴ γ'. Οὐρανίας ἀψίδος.

Ὥσπερ Νέστορα πρώην ταῖς σαῖς εὐχαῖς ὥπλισας, κατὰ τοῦ Λυαίου καὶ τούτου νικητὴν ἔδειξας, οὕτω με ὅπλισον, νῦν ἱκεσίαις σου Μάρτυς, καὶ νικητὴν δεῖξόν με, τοῦ πολεμήτορος.

Τὸν σκορπίον εὐχῇ σου Μάρτυς Χριστοῦ ἔκτεινας, ἐμὲ δὲ κραιταίωσον βαίνειν ἐπάνω ὄφεων, τῶν θανασίμων κακῶν, καὶ τῶν σκορπίων παμμάκαρ, τῶν συγγνωστῶν πράξεων, πατεῖν με πάντοτε.

Σὺ τὰς λόγχας ἐδέξω καὶ τὸ θανεῖν Ἅγιε, ὑπὲρ τοῦ Χριστοῦ ἡμᾶς πάντας δὲ καταξίωσον, ὑπὲρ τῆς πίστεως, καὶ παραδόσεων θείων, ἐν ἑτοίμῳ γένεσθαι δέξασθαι θάνατον.

Θεοτοκίον.

Ὡς ὁ σκύλα εὑρίσκων καὶ θησαυρὸν τέρπεται, οὕτως εὑρηκὼς ἐγὼ Κόρη Σὸν θεῖον ὄνομα, καὶ τὴν Εἰκόνα Σου, καταφυγὴν ἐν ἀνάγκαις, χαίρω ὀνομάζων Σε καὶ ἀσπαζόμενος.

Διάσωσον, ἀπὸ κινδύνων Δημήτριε Μάρτυς, τοὺς ἐν πίστει εἰλικρινεῖ πρὸς Σὲ καταφεύγοντας, ὡς ἕτοιμον βοηθὸν ἐν ἀνάγκαις.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β΄. Πρεσβεία θερμή.
Πρεσνείαν τὴν σὴν ὡς ὅπλον ἀπροσμάχητον, πλουτοῦντες ἀεί, οἱ πίστει σοι προσφεύγοντες, ἐκτενῶς βοῶμέν σοι· Ἀθλοφόρε Κυρίου πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τὸν πάντων Δεσπότην ἱλεούμενος.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.
Μύρου ῥοαῖς, ἐκ τοῦ θείου λειψάνου σου, χεομένου ἄρδευσόν με πταίσμασι, τὸν ξηρανθέντα καὶ ταῖς ὀδμαῖς, ταῖς εὐπνόοις τούτου, τὴν δυσωδίαν ἀπέλασον τῶν παθῶν μου Μυροβλῦτα, καὶ εὐδώδη με ὅλον, νοῦν ψυχὴν καὶ τὸ σῶμα ἀπέργασαι.
Τῆς Ἀφρικῆς ἐῤῥύσω πάλαι Ἐπίσκοπον, ἐκ δουλείας, ἀλλοφύλων Ἅγιε, ἀλλὰ κἀμὲ τῶν τριῶν παθῶν τῆς φιληδονίας, φιλοδοξίας ἐκλύτρωσαι, καὶ τῆς φιλαργυρίας, καὶ μητρὸς τούτων πάντων, φιλαυτίας Δημήτριε ἔνδοξε.

Δόρει τῷ σῷ, ὥσπερ Ῥαδόμηρον ἔκτεινας, οὕτω κτεῖνον δόρει τῆς πρεσβείαις σου, τὴν ἐν ἐμοὶ οἰκέτῃ τῷ σῷ, ὑλικὴν δυάδα, θυμόν τε ἐπιθυμίαν τε, καὶ τυραννίδος τούτων, ἐλευθέρωσον πάσης, ἵνα πόθῳ δοξάζω σε Ἅγιε.

Θεοτοκίον.

Νέος Ἀδάμ, ἀντὶ τοῦ πάλαι γεγένησαι, ὁ Ὑίος Σου, Σὺ δὲ Μῆτερ Ἄχραντε, ἀντὶ τῆς Εὔας ὁ δὲ σταυρός, ἀντὶ γνωστοῦ ξύλου, ὁ Γαβριὴλ ἀντὶ ὄφεως, ἀντὶ Ἐδὲμ ὁ πόλος, ἀντὶ λύπης τὸ χαῖρε, οὗ μετάδος κἀμοὶ τῷ οἰκέτῃ Σου.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Τὴν σὴν πόλιν πολλάκις, ἀπὸ τοῦ λιμοῦ ἐλυτρώσω Δημήτριε, ἐμὲ δὲ σὸν δοῦλον, τοῦ λιμοῦ θείας χάριτος λύτρωσαι, καὶ ζωτικῷ ἄρτῳ, τῶν γενικῶν ἀρετῶν θρέψαν, τὴν πεινῶσαν ψυχὴν καὶ καρδίαν μου. Ὡς ἐφώτισας Μάρτυς, τῶν τυφλῶν τὰ ὄμματα, οὕτω σοῦ δέομαι, ὀφθαλμοὺς ψυχῆς μου, ἀγνωσίᾳ τυφλώττοντας φώτισον, φωτὶ ὀρθοῦ λόγου, καὶ θείας γνώσεως ἐλλάμψει, ἐν ὀρθῶς βηματίζω τὰς τρίβους μου.

Πρὶν ἰάσω νοσοῦντα, Μάρτυς τὸν Λεόντιον, νῦν δὲ μοῦ ἴασαι, τὴν ψυχὴν νοσοῦσαν, ταῖς αἰσχραῖς καὶ ἀλόγοις προλήψεσι, καὶ τὸ σῶμα ὅλον, πάσχον ποικίλαις καχεξίαις, ἵνα πόθῳ γεραίρω τὴν χάριν σου.

Θεοτοκίον.

Νίκην ἦρας Σὺ μόνη, κατὰ τῶν παθῶν τῆς σαρκὸς ἀειπάρθενε, προσβολῆς ἁπάσης λογισμοῦ ἀνωτέρα ὑπάρξασα, ὅθεν ὡς παρθένος, καὶ ἡγεμὼν παρθενευόντων, παρθενεύειν ἡμᾶς ἐνδυνάμωσον.

Ὠδὴ στ΄. Τὴν δέησιν.

Πατρίδα σου, ὡς πολάκις ἔσωσας, τῶν βαρβάρων τῆς ἐφόδου ὦ Μάρτυς, οὕτω ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης, καὶ ἐπηρείας καὶ θλίψεως λύτρωσαι, ἁπάντων τε τῶν ὁρατῶν, ἀοράτων ἐχθρῶν ταῖς πρεσβείαις σου. Πρᾳότητι, διορθώσω Ἅγιε, τὸν συλῶντα τοὺς κηῤῥοὺς σου οἰκέτην, ἀλλὰ κἀμὲ καταξίωσον Μάρτυς, τοὺς ἀδικεῖν ἢ λυπεῖν με ἐθέλοντας, ἀγάπῃ ἐν ἀδελφικῇ, διορθοῦν ἀλλὰ οὐχὶ κατ᾽ ἐκδίκησιν.

Ἀπόντιστος, ποταμὸν Λεόντιος, ὡς διῆλθε βοηθείᾳ σου πάλαι, οὕτω καὶ νῦν, ἀβλαβεῖς ἡμᾶς πάντας, τὴν ἀεὶ ῥέουσαν βίου διάβασιν, ἀξίωσον διαπερᾶν, δραστικαῖς πρὸς Θεὸν μεσιτείαις σου.

Θεοτοκίον.

Ἀγκάλας Σου, καὶ μαστοὺς ὦ Δέσποινα, τῷ Υἱῷ Σου μεσιτεύουσα δεῖξον, μίξον τοῖς Σοῖς, τὰς ἐκείνου Παρθένε, σταυρὸν καὶ λόγχην καὶ σπόγγον καὶ κάλαμον, καὶ οὕτως ἱλέωσαι Αὐτόν, ἐφ᾽ ἡμῖν τοῖς πολλᾶ ἁμαρτήματα.

Διάσωσον, ἀπὸ κινδύνων Δημήτριε Μάρτυς, τοὺς ἐν πίστει εἰλικρινεῖ πρὸς Σὲ καταφεύγοντας, ὡς ἕτοιμον βοηθὸν ἐν ἀνάγκαις.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.
Ὡς ταχὺν ἐν δεινοῖς ἀντιλήπτορα, καὶ θερμὸν βοηθὸν ἐν ταῖς θλίψεσι, σὲ ἱεκτεύομεν πιστῶς Δημήτριε σοφέ, συμπαθείᾳ σου τὴν πρίν, Μάρτυς χρησάμενος καὶ νῦν, κινδύνων ἀπολύτρωσαι, ἡμῖν ἐπηρτημένων, καὶ βλάβης ἐκ πανοτίας, ἵνα γεραίρωμεν ᾀεί, τὴν σὴν χάριν καὶ βοήθειαν.

Προκείμενον
Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.
Στ.: Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἐξανθήσεται.

Εὐαγγέλιον μαρτυρικόν.
Δόξα.
Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Στ.: Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός…
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Τῶν Μαρτύρων ἥλιον, μῆλόν τε νέκταρ καὶ σίτον, ῥόδον καὶ θυμίαμα, χρυσὸν καὶ ἀδάμαντα καὶ κυπάρισσον, ἀετὸν λέοντα, καὶ ἅπαν ἐξαίρετον,

ὀνομάζω σε Δημήτριε, ὅθεν μοι δώρησαι, τούτων μυστικῶς τὰς ποιότητος, εὐχαῖς σου ἐνισχύων με, καὶ ὑψοποιῶν καὶ πλουτίζων με, ἀβρίζων καὶ τρέφων, εὐφραίνων καὶ λαμπρύνων με ᾀεί, ἐν ὡς φρουρόν μου γεραίρω σε, ἐν παντὶ τῷ βίῳ μου.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.
Λέπρας τὸν ἄρχοντα Αὐλῶνος, ἀπεκάθηρας Δημήτριε τρισμάκαρ, ἐμὲ δὲ Ἀλητά, σώματος ἐμπαθείας, καὶ προσπαθείας κάθαρον, καὶ ψυχῆς ἡδυπαθείας. Ηὗχου ὑπὲρ τῶν φονευτῶν σου, θανατούμενος Μάρτυς Χριστομιμήτως, ἀλλὰ ταῖς σαῖς λιταῖς, κᾀμὲ ὑπὲρ ἐχθρῶν μου, εὔχεσθαι καταξίωσον, ἵνα πόθῳ ἀνυμνῶ σε.

Ἔστησας πρὶν τὴν τοῦ Δεσπότου, ἀγανάκτησιν κατὰ τῆς σῆς πατρίδος, φερομένην σοφέ, ἀλλὰ καὶ ἤδη στῆσον, ταύτην καθ’ ἡμῶν ῥέπουσαν, νικηθεὶς φιλαδελφίᾳ.

Θεοτοκίον.
Πάντων μὲ Σὺ ὑψηλοτέρα, ἁγιότητι ἐγὼ δ’ ἔσχατος πάντων, ἁμαρτίας Ἁγνή, Σὺ οὖν ἀνόρθωσόν με, τὸ πλήρωμα τῆς χάριτος, πλήρωμα τὸ τῆς κακίας.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.
Πρὶν ἐνίκα τὸ θεῖον ὄνομά σου, πολεμίους ἐν λίθοις γεγραμμένον, τοῦτο καὶ νῦν, συχνῶς ἐπικαλούμενον,

παρ' ἡμῶν νικάτῳ, πάντας τοὺς ματαίως, καθ' ἡμῶν πολεμοῦντας.
Πρεσβειῶν σου καὶ ῥαπισμῷ ἐνέδρας, νῦν ματαίας ἐχθρῶν τῶν ὀρομένων, καὶ ἀοράτων ποίησον ὡς ἔδειξας, ἄπρακτον τὸ πάλαι, τὴν κατὰ σῆς ποίμνης, ἔνεδραν τῶν βαρβάρων.

Ὥσπερ ξίφος τὴν περικεφαλαίαν, τὴν σὴν χάριν καὶ τὴν ἰσχὺν ᾧ Μαρτυς, κατὰ παθῶν ἡμᾶς περίζωσον, ἣν οἱ σοὶ πολῖται, φραττόμενοι πάλαι, ἐνίκων πολεμίους.

Θεοτοκίον.
Χριστοῦ Μήτηρ καὶ Μήτηρ χριστωνύμων, Σὺ ὑπάρχεις δι' ὅ Σε δυσωποῦμεν, τὰ κατὰ χάριν τέκνα Σου, ἐλέησον ἡμᾶς Σαῖς πρεσβείαις, ταῖς πρὸς τὸν Υἱόν Σου, τὸν κατὰ φύσιν Κόρη.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.
Ξιφήρης ὡς ἐφάνης Μάρτυς τὸ πρίν, καὶ ἐχθροὺς τῆς σῆς πόλεως ἔκτεινας, οὕτω κἀμοῦ, κτεῖνον ταῖς εὐχαῖς σου τοὺς τρεῖς ἐχθρούς, κόσμον καὶ κοσμοκράτορα, καὶ σαρκὸς τὸ φρόνιμα Ἀθλητά, τοὺς τρεῖς παθῶν τριστάτας, ὡς ἂν σωθεὶς ἐκ τούτων, ἀκαταπαύστως μεγαλύνω σε.
Προσήγαγες Κυρίῳ Μάρτυς Χριστοῦ, σεσωσμένους πολλοὺς εἰσηγήσεσι, καὶ ἱεραῖς, σοῦ διδασκαλίαις εἰσέτι ζῶν, σῶσον καὶ νῦν πρεσβείαις σου, ταῖς θεοπειθέσι καὶ δραστικαῖς, ἐμὲ τὸν σὸν οἰκέτην, καὶ βασιλείας δεῖξον, τῆς οὐρανίου κληρονόμον με.

Ναοῦ σου καὶ λειψάνου καὶ μύρων σῶν, εἰ καὶ νῦν οἱ σοὶ δοῦλοι στερούμεθα, διὰ πληθύν, κακῶν ἡμετέρων ἀλλὰ τῆς σῆς, πρεσβείαις τε καὶ χάριτος, μὴ καὶ στερηθείημεν Ἀθλητά, σὲ γὰρ πρὸς τὸν Δεσπότην, προβαλλόμεθα πρέσβυν, ἐν τοῖς κινδύνοις ἡμῶν πάντοτε.

Θεοτοκίον.

Παρθένε ἐξιλέωσαι Σὸν Υἱόν, ἡμῖν πᾶσι πρεσβεύοντα ἔχουσα, ὑπὲρ ἡμῶν, Δημήτριον Μάρτυρα τὸν κλεινόν, καὶ πάντας καταξίωσον, συνεῖναι τῷ Κτίστῃ Σου καὶ Υἱῷ, καὶ Σοὶ τῇ Θεοτόκῳ, δοξάζοντας ἀπαύστως, Πατέρα Λόγον Πνεῦμα Ἅγιον.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,

Αἴτησαι εἰρήνην παρὰ Θεοῦ, ὁμόνοιαν σκέπην μέχρι τέλους ὑπομονήν, ψυχῶν σωτηρίαν, ἡμῖν τοῖς σοῖς οἰκέταις, εἰς δόξαν τοῦ Κυρίου Μάρτυς Δημήτριε.

Ἔχοντες ναόν σου τὸν ἱερόν, Δημήτριε Μάρτυς, ὡς προπύργιον ὀχυρόν, προσφεύγομεν τούτῳ, ἐν καιρῷ τῶν κινδύνων, καὶ πάσης ἐπηρείας ἀπολυτρούμεθα.

Φύλαττε τοὺς δούλους σου Ἀθλητά, Μάρτυς Μυροβλύτα, τοὺς τιμῶντάς σε εὐσεβῶς, καὶ ῥῦσαι κινδύνων, καὶ πάσης ἄλλης βλάβης, Δημήτριε τρισμάκαρ, τῇ μεσιτείᾳ σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.
Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.
Καὶ νῦν.
Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μὴ ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τα ἑξῆς
Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντας, τοὺς τὴν θείαν καὶ σεπτήν, σοῦ ἀσπαζομένους Εἰκόνα, Μάρτυς Δημήτριε, πάσης περιστάσεως, ῥῦσαι πρεσβείαις σου, ἀλλοφύλων ἐφόδου τε, λιμοῦ τε λοιμοῦ τε, νόσων τε μαχαίρας τε, καὶ ἐμπρησμοῦ καὶ σεισμοῦ, ὅπως εὐχαρίστοις ἐν ὕμνοις, ὡς κοινὸν ἡμῶν εὐεργέτην, σὲ ἀκαταπαύστως μεγαλύνωμεν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν.
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν ἐλέησον ἡμᾶς.
Ἀμήν.

